ΠΟΛΥΚΑΡΠΟΥ ΨΩΜΙΑΔΟΥ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΞΑΝΘΗΣ

# ΑΚΟΛΟΥΘΕΙΑ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΠΟΛΥΚΑΡΠΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΣΜΥΡΝΗΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΞΑΝΘΗ

1932




ΠΑΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

### Τοῖς ἐντευξομένοις

Ὁ Ἱερομάρτυς Πολύκαρπος, Ἐπίσκοπος Σμύρνης, εἶνε εἷς ἐκ τῶν Ἀποστολικῶν Πατέρων τῆς Ἐκκλησίας, λαμπρὸς καὶ φωτοβόλος Ἀστὴρ καὶ προσφιλὴς τῶν πιστῶν ἱεροφάντης τῶν θείων δογμάτων τῆς Ὀρθοδόξου Θεολογίας. Ὁ βίος καὶ ἡ πολιτεία αὐτοῦ δέον νὰ θεωρῶνται ὡς ὑπόδειγμα τοῦ καλοῦ ποιμένος. Ζήσας κατὰ τὴν πρώτην ἑκατονταετηρίδα τῆς ἐμφανισθείσης νέας Θρησκείας τοῦ Ἰησοῦ καὶ μαθητὴς γενόμενος μετὰ τοῦ Βουκόλου, τοῦ ἐπιστηθίου φίλου τοῦ Χριστοῦ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, παρέλαβε παρ' αὐτοῦ ἀλώβητον τὴν ἱερὰν παρακαταθήκην τῆς ἱδρυθείσης Χριστιανικῆς Ὀρθοδόξου Ἐκκλησίας καὶ μετέδωκεν αὐτὴν εἰς τοὺς μετ' αὐτὸν πιστοὺς τοῦ Χριστοῦ ὀπαδούς. Διεδέχθη τὸν Βουκόλον ἐν τῇ Ἐπισκοπῇ τῆς Σμύρνης καὶ ἐμαρτύρησε τῷ 166 μ.Χ ἐπὶ Μάρκου Αὐρηλίου. Συγκινητικώτατοι εἶνε οἱ λόγοι, οὓς ἀπηύθυνε πρὸς τὸν Ἀνθύπατον Σμύρνης, ὅστις σεβόμενος καὶ συμπαθῶν πρὸς αὐτόν, προέτρεπεν αὐτὸν νὰ βλασφημήσῃ τὸν Χριστὸν ἵνα σωθῇ. «Ὀγδοήκοντα, καὶ ἓξ ἔτη δουλεύω, αὐτῷ ἀπήντησε, καὶ οὐδέν μοι ἠδίκησε καὶ πῶς δύναμαι βλασφημῆσαι τὸν βασιλέα μου, τὸν σώσαντά με» Οἱ θαυμάσιοι λόγοι! οἵαν ἐγκλείουσιν ἀκραιφνῆ καὶ ἀκράδαντον πίστιν! Ναί, τοιοῦτοι εἶνε οἱ ἀγλαοὶ τῆς ἀληθοῦς πίστεως καρποὶ καὶ ὁ Ἱερὸς Πολύκαρπος, διὰ τῆς θαυμασίας ταύτης ὁμολογίας, ὑποστὰς τὸν διὰ πυρὸς μαρτυρικὸν θάνατον κατέλιπεν ἡμῖν

ὡς τύπον καὶ ὑπογραμμὸν τὸν καλλίκαρπον τῶν ἀρετῶν αὐτοῦ στεφηφόρον χριστιανικὸν ἅμα καὶ ποιμαντορικὸν βίον.

*Τὴν μνήμην τοῦ μαρτυρίου αὐτοῦ ἑορτάζομεν τὴν 23ην Φεβρουαρίου ἑκάστου ἔτους. Καὶ ἐπειδὴ ἡ ἀκολουθία αὐτοῦ φέρεται ἐν τοῖς* (Μηναίοις) *τῆς Ἐκκλησίας λίαν σύντομος ὡς ἀφορῶσα τὸν Ἑσπερινὸν καὶ τὸν Ὄρθρον τῆς καθημερινῆς τυπικῆς διατάξεως, ἐν εἰσι δὲ πόλεσιν ὑπάρχουσι ναοὶ ἐπὶ ὀνόματι τοῦ Ἁγίου Πολυκάρπου τιμώμενοι, καὶ ὡς εἰκός, πανηγυρίζουσι τὴν μνήμην αὐτοῦ, ἐλλείψει εἰδικῆς πανηγυρικῆς ἀκολουθίας (†) ἐκρίναμεν σκόπιμον ἵνα προβῶμεν εἰς τὴν τυπικὴν διάταξιν τῆς παρούσης Ἀκολουθίας ἐπὶ τῇ βάσει τοῦ τυπικοῦ τῆς Ἐκκλησίας, ἀναλέξαντες τὴν σχετικὴν ὕλην ἐξ αὐτοῦ τοῦ* (Μηναίου) *καὶ οὕτω προσφέρομεν τοῖς φιλεόρτοις εἰδικὴν Ἀκολουθίαν.*

*Ἐν Ξάνθῃ τῇ 2—3—32*

*Ἔρρωσθε*

† Ο ΞΑΝΘΗΣ ΠΟΛΥΚΑΡΠΟΣ

*ἐν Χριστῷ εὐχέτης*

(†) ΣΗΜΕΙΩΣΙΣ. Ὁ ἀείμνηστος Μητροπολίτης Σμύρνης Βασίλειος εἶχε συνθέσας εἰδικὴν Ἀκολουθίαν τῶν Ἐπισκόπων Σμύρνης Βουκόλου καὶ Πολυκάρπου, ἧς ἀντίτυπα Βουκόλου δύο εἶχεν ἀποστείλῃ καὶ ἡμῖν, ἀποτεφρωθέντα κατὰ τὴν δήμευσιν καὶ διαρπαγὴν τῆς περιουσίας ἡμῶν ὑπὸ τῶν Τούρκων, καταδικασάντων ἡμᾶς εἰς τὸ δι᾽ ἀγχόνης θάνατον.

# ΑΚΟΛΟΥΘΙΑ

## *Τοῦ Ἁγίου Ἱερομάρτυρος Πολυκάρπου Ἐπισκόπου Σμύρνης*

# ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τό, Κύριε ἐκέκραξα, ψάλλομεν στιχηρὰ προσόμοια δευτεροῦντες αὐτά.

Ἦχος β΄. Ὅτε, ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε τῆς Παρθένου ὁ καρπός, καὶ ζωαρχικώτατος σπόρος, εἰς γῆν ἐνέπεσε, τότε σὲ Πολύκαρπον, στάχυν ἐβλάστησε, τοὺς πιστοὺς διατρέφοντα, τοῖς τῆς εὐσεβείας, λόγοις τε καὶ δόγμασι, καὶ τῆς ἀθλήσεως, τούτους ἁγιάζον

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τα Θείῳ αἵματι καὶ ἱερωσύνης, μύρῳ καθαγνίζοντα Πολύκαρπε.

Ἔδυς, ἐκ τοῦ κόσμου πρὸς Θεόν, ταῖς μαρμαρυγαῖς ἀποστίλβων τοῦ μαρτυρίου σου, ἔστης τῆς ἐφέσεως, ὡς τὸ ἀκρότατον, ὀρεκτῶν φθάσας Ὅσιε, καὶ τῆς μακαρίας, αἴγλης ἐμφορούμενος· ἧς νῦν ἱκέτευε, πάντας ἐν μεθέξει γενέσθαι τοὺς τὴν σὴν πανίερον μνήμην, μάκαρ ἑορτάζοντας Πολύκαρπε.

Ὅτε, ἐπὶ ξύλου τοῦ Σταυροῦ, ἡ ἀληθινὴ κρεμασθεῖσα, ὑψώθη ἄμπελος, τότε σε κατάκαρπον, κλῆμα ἐξέτεινε, τῇ δρεπάνῃ τεμνόμενον, σεπτοῦ μαρτυρίου, καὶ τοῖς τῶν κολάσεων, ληνοῖς πατούμενον· οὗπερ εὐφροσύνως κρατῆρα, πίστει συγκεράσαντες Πάτερ, τοὺς σεπτοὺς ἀγῶνας σου δοξάζομεν.

Δόξα Ἦχος πλ. β΄.

Δεῦτε φιλομάρτυρες πάντες, εὐαχηθῶμεν ἐν τῇ πανσέπτῳ πανηγύρει τοῦ Ἀθλοφόρου, καὶ πνευματικῶς πανηγυρίσωμεν. Σήμερον γὰρ συγκαλεῖται ἡμᾶς, ἡ πανσεβάσμιος πανήγυρις, Πολυκάρπου τοῦ Ἱερομάρτυρος, τράπεζαν ἡμῖν, παρατιθεμένη το ὁλοκαύτωμα τοῦ σεπτοῦ αὐτοῦ σκήνους. Ὡς ἀμνὸς γὰρ ἄκακος πυρὶ τελειούμενος προθύμως προσφέρεται Χριστῷ τῷ Θεῷ ἡμῶν. Ὃν καθικέτευε ἀπαύστως ἐν Οὐρανοῖς, ἀξιύμνητε Ἱερομάρτυς Πολύκαρπε, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε.



Εἴσοδος Φῶς ἱλαρὸν κ. λ. π. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα

Κεφ. μγ΄ 9. Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκούσας ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς, ὃν ἐξελέξαμην· ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων· ἐγὼ ἀνήγγειλα καὶ ἔδωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει ὁ Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

Κεφ. γ΄ 1 Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις, ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμα-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.

Κεφ. ι'. 15 Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δέ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καί ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφθήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καί σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



Ἀπόστιχα τῆς ὀκτωήχου τοῦ τυχόντος ἤχου τῆς ἑβδομάδος. Τὸ ἀπολυτίκιον Ἦχος δ.'

Καὶ τρόπων μέτοχος, καί θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες Θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καί τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Πολύκαρπε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τάς ψυχὰς ἡμῶν.

Δόξα. Ἕτερον Ἦχος α.'

Τὸν Ἐπίσκοπον Σμύρνης καί φρουρὸν νῦν θερμότατον τῆς πόλεως Ξάνθης, τὸν Πολύκαρπον ἅπαντες, αἰνέσωμεν ἐν πίστει οἱ πιστοί, ὡς ἰάματα παρέχοντα ἡμῖν θεραπεύει γὰρ ἀλάλους, παραλύτους συσφίγγει, τὴν δὲ μνήμην αὐτοῦ τιμῶντας τῶν κινδύνων ἀπαλλάττει.

Καί νῦν Θεοτόκιον

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, Παρθένε, τὸ χαῖρε, σύν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοῖ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικίσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διά τοῦ τόκου σου.

Καὶ ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν στιχολογίαν. Κάθισμα.

Τὴν Σοφίαν καὶ Λόγον

Τόν τῆς χάριτος βότρυν ἐν τῇ ψυχῇ, ἀληθῶς γεωργήσας Πάτερ σοφὲ, ὡς οἶνον ἐξέβλυσας, τὸν τῆς πίστεως Λόγον, τὸν εὐφραίνοντα πάντων, πιστῶν τὴν διάνοιαν, καὶ θαυμάτων ὤφθης, ἀπέραντον πέλαγος· ὅθεν καὶ μαρτύρων, καλλονὴ ἀνεδείχθης, πυρὶ τελειούμενος, καὶ φωτός ἀξιούμενος, ἀϊδίου Πολύκαρπε. Πρέσβευε Χριστῷ τῷν Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν. Θεοτόκιον

Τοῦ Ἡλίου νεφέλη τοῦ νοητοῦ, θείου φέγγους λυχνία χρυσοφαὴς, ἄσπιλε, ἀμόλυντε, ὑπεράμωμε Θέσποινα, τήν σκοτεινήν ψυχήν μου τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλη, καταύγασον δέομαι καὶ μεμολυσμένην τὴν καρδιάν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας τε δάκρυσι, ἵνα πόθῳ κραυγάζω σοι. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μου· σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Τὸ Α.' Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ.' Ἤχου

Προκείμενα Ἦχος δ.'

Δίκαιος ὡς Φοῖνιξ ἀνθίσει

Στιχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου



Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Λουκᾶν

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς προσέχετε ἀπὸ τῶν ἀνθρώπων.

Εἶτα ὁ Ν.' Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου

Καὶ νῦν. Ταῖς Θεοτόκου

Στιχ. Ἐλέησον με ὁ Θεὸς

Καὶ τὸ ἰδιόμελον. Ἦχος πλ. β.'

Τήν τῆς σοφίας χρηστότητα ἀρυσάμενοι, ἐξ αὐτῆς Πάτερ ἔπλησας Θεογνωσίᾳ τὴν ποίμνην σου, καί τῆς Παναγίας καὶ ἀρρήτου Θεότητος τὸ τρισήλιον ἔστραψας, τοῦ Πατρὸς τὸ ἀγέννητον, Υἱοῦ δέ τὴν γέννησιν, καὶ ἐκπόρευσιν πνεύματος, μίαν Θεότητα, μίαν δόξαν τρανῶς ἐκδιδάξας καὶ εἰδώλων ἀθεΐαν ἐκ ποδῶν ἀποποιήσας· καρπούς δὲ ὡρίμους, ψυχὰς πιστευόντων προσάγων τούτῳ ἔνδοξε Πολύκαρπε· ἐν ᾧ βεβαπτίσμεθα, εἰς ὃν καὶ πιστεύομεν, δοξάζοντες τὸν Κύριον.

Τὸ, Κύριε ἐλέησον ιβ.' Ἐλέει καὶ οἰκτιρμοῖς.

Εἶτα ψάλλεται ὁ κανὼν τῆς Θεοτόκου μετὰ τοῦ Εἱρμοῦ εἰς ΣΤ.' καὶ τοῦ ἁγίου ἐπίσης εἰς ΣΤ.' οὗ ἡ ἀκροστιχὶς: Τον Θεῖον Πολύκαρπον ἐν ᾄσμασιν εὐφημήσω

Θεοφάνους

Ὠδὴ α.' Ἦχος β.' Ὁ Εἱρμὸς

Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι τὸν λαόν, ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τῇ τοῦ Χριστοῦ, φωτοχυσίᾳ λαμπόμενος, καὶ τῆς αὐτοῦ ἐλλάμψεως, Πάτερ πληρούμενος, τὴν ζοφώδη ψυχήν μου, καταύγασον Θεόφρον ταῖς ἱκεσίαις σου.

Ὁ φωτισμός, τοῦ σωτηρίου κηρύγματος, τὴν καθαρὰν καρδίαν σου, καθάπερ ἔσοπτρον, ἀκηλίδωτον Πάτερ, ἀστράψας τὰς ἀκτῖνας πᾶσιν ἐξέλαμψε.

Νόμου καινοῦ, στηλογραφία σύ γέγονας, ἐγγεγραμμένον ἔχουσα, Πάτερ οὐ μέλανι, ἀλλὰ πνεύματι Θείῳ τῆς χάριτος τῆς Θεία; τὸ Εὐαγγέλιον.

**Θεοτόκιον**

Θεὸν ἐκ σοῦ, σωματωθέντα γινώσκοντες, ἄνευ σαρκὸς θελήματος, τὸν πρὸ τῆς κτίσεως, καί προ πάντων αἰώνων, κυρίως Θεοτόκον ὁμολογοῦμέν σε.

**Ὠδὴ γ.′ Ὁ Εἱρμὸς**

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ, νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Ἐλαία ψαλμικῶς εἰπεῖν κατάκαρπος, ἐγένου Πολύκαρπε Θεοφάνεορ, ἐν τῷ οἴκῳ τοῦ κυρίου σου, ἱλαρότητα φέρων τοῦ κηρύγματος.

Ἰθύνας ἐμμελῶς Θεομακάριστε, τὸν νοῦν σου προσιάγ-



μασι τοῦ Σωτῆρος, ἐπαξίως ἐχρημάτισας, τῆς αὐτοῦ Ἐκκλησίας ποιμὴν ἄριστος.

Ὁλόκληρον σαυτὸν Χριστῷ προσήγαγες, ὡς ζῶσαν θυσίαν τῷ μαρτυρίῳ συνειδήσεως μαρτύριον, προαθλήσας Πομμάκαρ δι᾿ ἀσκήσεως.

**Θεοτόκιον**

Νεκρώσεως ἡμῶν τὸν χοῦν ἐτίναξας τεκοῦσα τὴν ὄντως ἀθανασίαν, καὶ στολὰς ἡμῖν ἐξύφανας, ἀφθαρσίας Παρθένε τῇ γεννήσει σου.

**Ἀπὸ γ.′ Ὠδῆς Κάθισμα**

**Κάθισμα. Ἦχος γ.′ Θείας Πίστεως**

Μέγας ἥλιος τῇ οἰκουμένῃ, ἀνατέταλκας τῶν ἀρετῶν σου, ἀναλάμψει καὶ θαυμάτων λαμπρότητι, φωταγωγήσας Πιστῶν τὰ συστήματα, καὶ ἀναφανίσας παθῶν τὴν μαυρότητα, Ἱερομάρτυς Πολύκαρπε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Δόξα καὶ νῦν. Θεοτόκιον**

Θείας φύσεως οὐκ ἐχωρίσθη, σάρξ γενόμενος ἐν τῇ γαστρί σου, ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον Μητέρα Παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμον, μόνος Κύριος. Αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

### Ἡ Σταυροθεοτόκιον

Ἡ ἀμίαντος Ἀμνὰς τοῦ Λόγου, ἡ ἀκήρατος Παρθενομήτωρ ἐν τῷ Σταυρῷ θεασαμένη κρεμάμενον, τὸν ἐξ αὐτῆς ἀνωδύνως βλαστήσαντα, μητροπρεπῶς θρηνοδοῦσα ἐκραύγαζεν· Οἴμοι τέκνον μου! Πῶς πάσχεις θέλων; ῥύσασθαι, παθῶν τῆς ἀτιμίας τὸν ἄνθρωπον.

### Ὠδὴ δ΄. Ὁ Εἱρμὸς

Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας καὶ ἐδόξασά σε, μόνε φιλάνθρωπε.

Πολυκαρπίαν φέρουσα, τῶν ἀρετῶν, πολύκαρπος φυτεία, τῷ Δεσπότῃ ὤφθης, Πάτερ Πολύκαρπε.

Ὁλοκαύτωμα τέλειον, καὶ καθαρὰ θυσία προσηνέχθης, τῷ Σωτῆρι πάντων, Πάτερ Πολύκαρπε.

Λαὸν εὐσεβῶς Ὅσιε, καθοδηγῶν πρὸς φῶς Θεογνωσίας, τὸν τῆς ἀθεΐας ζόφον ἀπήλασας· ὑμνολογοῦμεν ἔνδοξε τὴν τῆς ψυχῆς σου στερρὰν καρτερίαν, καὶ τῶν σῶν ἀγώνων τὸ ἀκαθαίρετον.

### Θεοτόκιον

Καταλάμπρυνον Ἄχραντε, τὴν ζοφερὰν ψυχήν μου



τῷ φωτί σου, ἡ τὸ φῶς τεκοῦσα τὸ ἐνυπόστατον.

### Ὠδὴ ε΄. Ὁ Εἱρμὸς

Ὁ τοῦ φωτὸς χορηγός, καὶ τῶν αἰώνων ποιητὴς Κύριος ἐν τῷ φωτί; τῶν σῶν προσταγμάτων, ὁδήγησον ἡμᾶς· ἐκτὸς σοῦ γὰρ ἄλλον Θεὸν οὐ γινώσκομεν.

Αἴγλη τοῦ Πνεύματος σύ, καταλαμπόμενος τὸν νοῦν Ὅσιε, συμβολικῶς, πυρὶ φλεγομένῳ, σαφῶς ἐμυήθης, τὴν διὰ πυρός σου, Θεόφρον τελείωσιν.

Ῥεῖθρον ἐδέξω ζωῆς, ὡς ἐκ χειμάρρου τῆς τρυφῆς Ὅσιε τῷ μαθητῇ, τῷ ἠγαπημένῳ, μεμαθητευμένος, τῷ ἀρυσαμένῳ σοφίας τὴν ἄβυσσον.

Πλοῦτον καὶ δόξαν λαμπράν, καὶ μῆκος βίου, καὶ ζωὴν ἄφθαρτον, ἡ ἀληθής, σοφία Χριστός σοι, δεδώρηται Πάτερ, ὡς διαφερόντως, αὐτὸν ἀγαπήσαντι.

### Θεοτόκιον

Ὁ παλαιὸς ἡμερῶν, ὡς ἐπὶ πόκον ὑετός, Πάναγνε, ἐπὶ τὴν σήν, γαστέρα κατῆλθε, τὴν ἡγιασμένην, καὶ νέος ἐφάνη Ἀδὰμ ὁ φιλάνθρωπος.

### Ὠδὴ στ΄. Ὁ Εἱρμὸς

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνία-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

στος τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσον. Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Νεκρωθεὶς Θεηγόρε τῷ κόσμῳ παντί, μόνῳ δὲ Χριστῷ ζῶν καὶ πολιτευόμενος, πρὸς τὸν Χριστὸν μεθέστηκας, ζωτικὴν ἀφθαρσίαν καρπούμενος.

Εὐσχημόνως ὁδεύων Μακάριε, τέκνον τε φωτὸς καὶ εἰρήνης δεικνύμενος, τὸν τῆς νυκτὸς πρωτότοκον, καὶ πολέμιον ἔγνως Μαρκίωνα.

Νουθετούμενοι Πάτερ τοῖς λόγοις σου, πᾶσαν ἐκτρεπόμεθα βέβηλον αἵρεσιν, καὶ πονηρὰ συνέδρια, τῶν διττὰς πρεσβευόντων ἀρχὰς δυσεβῶς.

## Θεοτόκιον

Ἁμαρτίαν κόσμου τὸν αἴρονια, Ἄχραντον ἀμνὸν συλλαβοῦσα πανάμωμε, ἁμαρτιῶν συγχώρησιν, ἐκδυσώπει δοθῆναι, τοῖς δούλοις δούλοις σου.

## Κοντάκιον, Ἦχος α.' Χορὸς Ἀγγελικὸς

Καρποὺς τοὺς λογικούς, τῷ Κυρίῳ προσφέρων, Πολύκαρπε σοφέ, ἀρετῶν δι' ἐνθέων, ἐδείχθης ἀξιόθεος, Ἱεράρχα μακάριε· ὅθεν σήμερον οἱ φωτισθέντες σοῖς λόγοις, ἀνυμνοῦμεν σοῦ τὴν ἀξιέπαινον μνήμην, Θεὸν μεγαλύνοντες.



## Ὁ οἶκος

Τὴν τῆς σοφίας χρηστότητα ἀρυσάμενοι, ἐξ αὐτῆς Πάτερ ἔπλυσας Θεογνωσίᾳ τὴν ποίμνην σου, καὶ τῆς παναγίας καὶ ἀρρήτου Θεότητος τὸ τρισήλιον ἤστραψας, τοῦ Πατρὸς τὸ ἀγέννητον, Υἱοῦ δὲ τὴν γέννησιν, καὶ ἐκπόρευσιν πνεύματος, μίαν Θεότητα, μίαν δόξαν, τρανῶς ἐκδιδάξας καὶ εἰδώλων ἀθεΐαν. ἐκ ποδῶν ἀποποιήσας· καρποὺς δὲ ὡραίμους, ψυχὰς πιστευόντων προσάγων τούτῳ ἔνδοξε· ἐν ᾧ βεβαπτίσμεθα, εἰς ὃν καὶ πιστεύομεν, δοξάζοντες Κύριον.

## Συναξάριον

Τῇ κγ.' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Πολυκάρπου. Ἐπισκόπου Σμύρνης.

## Στίχοι

Σοὶ Πολύκαρπος ὁλοκαυτώθη Λόγε,

Καρπὸν πολὺν δοὺς ἐκ πυρὸς ξενοτρόπως

Εἰκάδι ἐν τριτάτῃ κατὰ φλὸξ Πολύκαρπον ἔκαυσεν.

Ὁ Ἀποστολικὸς οὗτος καὶ Προφητικὸς ἀνήρ, καὶ χαρακτὴρ τῆς πίστεως καὶ τῆς ἀληθείας, ὑπῆρχε μαθητὴς Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, καὶ τοῦ Βουκόλου διάδοχος (Φεβρουαρίου 6). Γηραλέος δὲ ὢν τὴν ἡλικίαν, 95 ἐτῶν, ὅτε ὁ Ε'. κατὰ τῶν Χριστιανῶν διωγμὸς ἐκινήθη ἐπὶ Μάρκου Αὐ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ρηλίου τοῦ καὶ Ἀντωνίου Φιλοσόφου καλουμένου, συλληφθεὶς ὑπὸ τοῦ Ἀνθυπάτου τῆς Σμύρνης καὶ παρακινούμενος ἵνα βλασφημήσῃ τὸν Χριστὸν εἶπεν: «Ὀγδοήκοντα καὶ ἓξ ἔτη δουλεύω αὐτῷ, καὶ οὐδὲν μοὶ ἠδίκησε· καὶ πῶς δύναμαι βλασφημῆσαι τὸν βασιλέα μου, τὸν σώσαντά με;» Ὁ δὲ τύραννος ὀργισθεὶς ἐπὶ τοῖς λόγοις τούτοις, ἐκέλευσε ῥιφθῆναι αὐτὸν εἰς τὸ πῦρ, καὶ οὕτως ἐτελεύτησεν ἐνδόξως τῷ 166 ἔτει ταῦτα διδάξας πάντοτε, κατὰ τὸν Εὐσέβιον, ἃ καὶ παρὰ τῶν Ἀποστόλων ἔμαθεν, ἃ καὶ ἡ Ἐκκλησία παραδίδωσιν, ἃ καὶ μόνον ἐστὶν ἀληθῆ (Ἱστορ. Ἐκκλ. βιβλ. δ.΄ κεφ. 14 καὶ 15).

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Ἰωάννου, Μωϋσέως, Ἀντιόχου καὶ Ἀντωνίου.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Γοργονία, ἀδελφὴ τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ἐν εἰρήνῃ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ἅγιος Μάρτυς Κλήμης ξίφει τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ὁσίων Πατέρων ἡμῶν Ζεβινᾶ, Πολυχρονίου, Μωϋσέως, καὶ Δαμιανοῦ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.



## Αἱ καταβασίαι καὶ ἡ τιμιωτέρα

**Ἐξαποστειλάριον** Γυναῖκες ἀκουτίσθητε

Πολλοὺς καρποὺς προσήνεγκας, Χριστῷ σοφὲ Πολύκαρπε, τοὺς διὰ σοῦ σεσωσμένους, βροτοὺς ἐκ πλάνης δαιμόνων, Ἱερομάρτυς ἔνδοξε, Ἀγγέλων ἰσοστάσιε, καὶ Ἀποστόλων σύσκηνε· μεθ᾽ ὧν μνημόνευε Πάτερ τῶν σὲ τιμώντων ἐκ πόθου.

### Θεοτόκιον

Ἐρράγη Μητροπάρθενε, τὸ τοῦ φραγμοῦ μεσότειχον, καὶ οἱ θνητοὶ τοῖς Ἀγγέλοις, τῷ σῷ συνήφθημεν τόκῳ· καὶ νῦν Θεογεννήτρια, νηστεύειν ἡμᾶς κράτυνον, καὶ φθάσαι τὴν τριήμερον, ἀνάστασιν τοῦ Υἱοῦ σου, εἰλικρινῶς προσκυνῆσαι.

**Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους στ.΄ καὶ ψάλλομεν τὰ τρία ἑσπέρια, δευτεροῦντες αὐτά**

Δόξα καὶ νῦν. Ἦχος πλάγιος δ.΄

Τὸν τῆς χάριτος βότρυν ἐν τῇ ψυχῇ, ἀληθῶς γεωργήσας Πάτερ σοφέ, εἰς οἶνον ἐξέβλυσας, τὸν τῆς πίστεως λόγον, τὸν εὐφραίνοντα πάντων, πιστῶν τὴν διάνοιαν, καὶ θαυμάτων ὤφθης ἀπέραντον πέλαγος· ὅθεν καὶ μαρτύρων καλλονὴ ἀνεδείχθης, πυρὶ τελειούμενος καὶ φωτὸς ἀξιούμενος ἀϊδίου Πολύκαρπε. Πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

φεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν Ἁγίαν μνήμην σου.

**Δοξολογία μεγάλη καὶ καθ' ἑξῆς ἡ Θεία λειτουργία τοῦ Χρυσοστόμου. Εἰς τὴν εἴσοδον τὸ ἀπολυτίκιον τοῦ ἁγίου τοῦ Ναοῦ. Κοντάκιον. Προστασία τῶν Χριστιανῶν †**

Τέλος καὶ τῷ Θεῷ δόξα.

(†) ΣΗΜΕΙΩΣΙΣ: Εἰ τύχοι ἡ ἑορτὴ τοῦ Ἁγίου Πολυκάρπου ἐντὸς τοῦ Τριῳδίου, τὴν τυπικὴν διάταξιν τῆς ἀκολουθίας αὐτοῦ ἴδε εἰς τὰς ἐν τῷ τυπικῷ διαφόρους περιπτώσεις κατὰ τὴν ἀκολουθίαν τῆς εἰκοστῆς τετάρτης ἰδίου μηνὸς ἐπὶ τῇ μνήμῃ τῆς Α' καὶ Β' Εὑρέσεως τῆς Τιμίας Κεφαλῆς τοῦ Προδρόμου.

# ΠΑΡΑΡΤΗΜΑ

✝

## ΤΥΠΙΚΑΙ ΔΙΑΤΑΞΕΙΣ ΤΩΝ ΙΕΡΩΝ ΑΚΟΛΟΥΘΙΩΝ ΕΠΙ ΤΑΙΣ ΤΕΛΟΥΜΕΝΑΙΣ ΔΟΞΟΛΟΓΙΑΙΣ

*ΚΑΤΑ ΤΑΣ*

## ΕΘΝΙΚΑΣ ΚΑΙ ΛΟΙΠΑΣ ΕΟΡΤΑΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## α.' ΕΠΙ Τῌ ΠΡΩΤῌ ΤΟΥ ΕΤΟΥΣ

Ὁ Διάκονος Εὐλόγησον Δέσποτα.

Ὁ Ἀρχιερεὺς Εὐλογητός ὁ Θεὸς ἡμῶν.

Ὁ Διάκονος Τὸ τρισάγιον.

Ὁ δεξιὸς χορὸς Τὸ τροπάριον Μορφὴν ἀναλλοιώτως.

Ὁ ἀριστ. χορός Εἰς πάσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος Σου

Ὁ δεξιὸς χορὸς Ὁ πάσης Δημιουργὸς τῆς κτίσεως καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, εὐλόγησον τόν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητὸς Σου, Κύριε, φυλάττων ἐν εἰρήνῃ καὶ εὐτυχίᾳ τὴν Ἐκκλησίαν Σου καὶ τὸ Ἔθνος ἡμῶν, προστατεύων ἐκ τῶν ἐπιβουλῶν τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, πρεσβείας τῆς Θεοτόκου μόνε Φιλάνθρωπε.

Ὁ Διάκονος Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν,
ὑπὲρ της ἄνωθεν εἰρήνης.
ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν,
ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.. Ἀντιλαβοῦ,

Ὁ Ἀρχιερεὺς Ὅτι ἐλεήμων.

Οἱ χοροὶ Ἄρχονται τῆς δοξολογίας, εἰς ἦχον Γ' εναρμόνιον μεθ' ἥν.

Ὁ Διάκονος Ἐλέησον ἡμᾶς ὁ Θεὸς.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, Στόλου καὶ

Στρατοῦ.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.

Ὁ Ἀρχιερεύς Ἔτι δεόμεθα ὑπὲρ ἐλέους ζωῆς εἰρήνης ὑγιείας, εὐτυχίας, καὶ διαφυλάξεως ἀπὸ πάσης προσβολῆς τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν ἀρχόντων καὶ ἀρχομένων, καὶ τοῦ κατὰ γῆν ἀέρα καὶ θάλασσαν ὑπὲρ πίστεως καὶ Πατρίδος ἀγωνιζομένου ἐθνικοῦ ἡμῶν Στρατοῦ.

Ὁ Διάκονος Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ εἰσακοῦσαι.

Ὁ Ἀρχιερεύς Ἐπάκουσον ἡμῶν ὁ Θεός... καὶ

Ἀπόλυσις

## β.' ΕΠΙ ΤΗ ΕΟΡΤΗ ΤΗΣ 25 ΜΑΡΤΙΟΥ

Ὁ Διάκονος Εὐλόγησον Δέσποτα

Ὁ Ἀρχιερεύς Εὐλογητὸς ὁ Θεὸς ἡμῶν.

Ὁ Διάκονος Τὸ τρισάγιον

Ὁ δεξιὸς χορὸς Τὸ τροπάριον. Σῶσον, Κύριε, τὸν Λαόν Σου καὶ εὐλόγησον τὴν κληρονομίαν Σου νίκας τῷ φιλοχρίστῳ Στρατῷ κατὰ βαρβάρων δωρούμενος καὶ τὸ Σὸν φυλάττων διὰ τοῦ Σταυροῦ Σου πολίτευμα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ὁ ἀριστ. χορὸς Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον.

Ὁ Ἱερὸς κλῆρος Τῇ ὑπερμάχῳ Στρατηγῷ.

Ὁ Διάκονος Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.
ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.
ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.

Ὁ Ἀρχιερεύς Ὅτι ἐλεήμων.

Οἱ χοροὶ Ἄρχονται τῆς δοξολογίας εἰς ἦχον Γ.' ἐναμόνιον μεθ' ἦν

Ὁ Διάκονος Ἐλέησον ἡμᾶς ὁ Θεός.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους τοῦ Στόλου καὶ Στρατοῦ.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.

Ὁ Ἀρχιερεύς Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, ὑγιείας, εἰρήνης, εὐτυχίας καὶ διαφυλάξεως ἀπὸ πάσης προσβολῆς τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν πάντων τῶν ἀρχόντων καὶ ἀρχομένων τοῦ εὐσεβοῦς ἡμῶν Γένους καὶ τοῦ κατὰ γῆν ἀέρα θάλασσαν ὑπὲρ πίστεως καὶ Πατρίδος ἀγωνιζομένου ἐθνικοῦ ἡμῶν Στρατοῦ.

Ὁ Διάκονος Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν ἡμῶν.

Ὁ Ἀρχιερεύς Ὑπάκουσον ἡμῶν καὶ Ἀπόλυσις

## ΕΠΙ ΤΗ ΟΡΚΩΜΟΣΙΑ ΤΩΝ ΝΕΟΣΥΛΛΕΚΤΩΝ

Ὁ Διάκονος Εὐλόγησον Δέσποτα.

Ὁ Ἀρχιερεὺς Εὐλογητὸς ὁ Θεὸς ἡμῶν.

Ὁ Διάκονος Τὸ τρισάγιον.

Ὁ χορός Σῶσον, Κύριε, τὸν λαὸν Σου.

Ὁ αὐτὸς Ὡς τῶν αἰχμαλώτων.

Ὁ αὐτὸς Τῇ ὑπερμάχῳ.

Ὁ Διάκονος Ἐλέησον ἡμᾶς ὁ Θεὸς.
Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν

Ὁ Ἀρχιερεὺς Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν,
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνη, ὑγιείας, καὶ ἐνισχύσεως τῶν Ἀξιωματικῶν καὶ ὁπλιτῶν, τῶν συγκροτούντων τὸν κατὰ γῆν ἀέρα θάλασσαν ἐθνικὸν ἡμῶν Στρατὸν, ὅπως Κύριος ὁ Θεὸς ἡμῶν ἐπισκιάση αὐτοὺς ἐν ἡμέρᾳ πολέμου, διαφυλάξῃ καὶ χαρίσηται αὐτοῖς τὴν νίκην ἔνδοξον· εἴπωμεν.

Ὁ χορὸς Κύριε ἐλέησον τρὶς.

Ὁ Διάκονος Ἔτι δεόμεθα ὑπέρ τοῦ διαφυλαχθῆναι.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ εἰσακοῦσαι.

Ὁ Ἀρχιερεὺς Ἐπάκουσον... καὶ Ἀπόλυσις



## ΟΡΚΟΣ ΣΤΡΑΤΙΩΤΟΥ

Ὁρκίζομαι νὰ φυλάττω πίστιν εἰς τὴν πατρίδα καὶ τὸ Δημοκρατικόν πολίτευμα, ὑπακοὴν εἰς τὸ Σύνταγμα, τοὺς Νόμους καὶ τά ψηφίσματα τοῦ Ἐράτους, ὑποταγὴν εἰς τοὺς ἀνωτέρους μου, νὰ ἐκτελῶ προθύμως καὶ ἄνευ ἀντιλογίας τὰς διαταγὰς των. νὰ ὑπερασπίζω μὲ πίστιν καὶ ἀφοσίωσιν μέχρι τῆς τελευταίας ρανίδος τοῦ αἵματός μου τὰς Σημαίας, νὰ μὴ τὰς ἐγκαταλείπω μηδὲ ν' ἀποχωρίζωμαι ποτὲ ἀπ' αὐτῶν· νὰ φυλάττω δὲ ἀκριβῶς τοὺς Στρατιωτικούς Νόμους καὶ νὰ διάγω ἐν γένει ὡς πιστὸς καὶ φιλότιμος Στρατιώτης.

---

## δ.' ΕΠΙ ΤΗ ΤΕΛΕΣΕΙ ΠΑΝΔΗΜΟΥ ΜΝΗΜΟΣΥΝΟΥ ΥΠΕΡ ΤΩΝ ΕΝ ΠΟΛΕΜΟΙΣ ΠΕΣΟΝΤΩΝ

Ὁ Διάκονος Εὐλόγησον Δέσποτα

Ὁ Ἀρχιερεὺς Εὐλογητός ὁ Θεὸς

Ὁ Διάκονος Τό τρισάγιον

Ὁ Ἀρχιερεὺς Μετὰ πνευμάτων δικαίων

Ὁ δεξιὸς χορός Εἰς τὴν κατάπαυσίν Σου, Κύριε

Ὁ ἀριστ. χορὸς Η μόνη ἁγνὴ

Ὁ Διάκονος Ἐλέησον ἡμᾶς ὁ Θεός.
Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως πάντων τῶν ὑπὲρ πίστεως καὶ Πατρίδος ἐν τοῖς Ἔθνι

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

κοῖ, ἡμῶν ἀγῶσιν ἀγωνισαμένων καί τελειωθέντων ἀδελ-
φῶν ἡμῶν, ἀξιωματικῶν καὶ ὁπλιτῶν ὅπως Κύριο; ὁ Θεὸς ἡ·
μῶν τάξαι τὰς ψυχὰς αὐτῶν ἐν χώρᾳ ζώντων καὶ ἀναπαῦ
σαι αὐτὰς ἐν σκηναῖς ἐν δικαίων.

'Ο αὐτὸς Τοῦ Κυρίου δεηθῶμεν

'Ο 'Αρχιερεὺς Τὴν εὐχή «Κύριε ὁ Θεὸς ἡμῶν ὁ τῇ Σῇ
ἀρρήτῳ σοφία κ.τ.λ.

μεθ' ἣν ψάλλεται ἐν κατανύξει ὑπὸ ἱεροῦ κλήρου καὶ εἶτα τῶν
χορῶν τρὶς τὸ «Αἰωνία ἡ μνήμη αὐτῶν.»

καὶ 'Απόλυσις

---

## ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ
### ΤΗΣ ΜΕΤΑ ΑΡΧΙΕΡΕΩΣ ΤΕΛΟΥΜΕΝΗΣ ΠΡΟΗΓΙΑΣΜΕΝΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

Τὸ πρωΐ τῆς τυχούσης ἑορτῆς εἰς τὸν Ὄρθον ***(ὅρα ἐν τῷ νέῳ Τυπικῷ τὴν ἑορτὴν τοῦ 'Αγίου Χαραλάμπους*** ὅταν τύχῃ αὕτη ἐν νηστησίμῳ ***ἡμέρᾳ, ἐν περιπτώσει Η' παραγράφῳ 11)*** ὁ 'Αρχιερεὺς κατέρχεται εἰς τὰς καταβασίας μετὰ Μανδύου καὶ Πατερίτσας, καὶ ἵσταται εἰς τὸν θρόνον. Μετὰ τὴν τιμιωτέραν, τὰ 'Εξαποστειλάρια, τοὺς Αἴνους, καὶ τὴν Μεγ. Δοξολογίαν γίνεται ἡ συνήθης εὐλόγησις τῶν ἄρτων. Μετὰ **δὲ** τὸ «Πλούσιοι ἐπτώχευσαν» κατέρχεται τοῦ Θρόνου, καὶ λαμβάνει καιρὸν, τῶν Χορῶν ψαλλόντων «Τὸν Δεσπότην καὶ 'Αρχιερέα» τὸ Μέγα, καὶ εἰσέρχεται εἰς τὸ 'Ιερόν. 'Εν ᾧ δὲ ἀναγινώσκονται αἱ ὧραι λιταί, ἐνδύεται τὴν 'Αρχιερατικὴν στολὴν. Μετὰ δὲ τὴν θ' καὶ τὸ «'Εν τῇ βασιλίᾳ σου», ἐξέρχεται τοῦ 'Ιεροῦ, καὶ ἵσταται εἰς τὸ μέσον. Μετὰ τὸ Κύριε ἐλέησον μ' 'Ο ἐν παντὶ καιρῷ, κτλ, 'Ο 'Αρχιερεὺς λέγει' «'Ο Θεὸς οἰκτειρῆσαι ἡμᾶς». Εἶτα ὁ ἀναγνώστης τὸ Τρισάγιον· τὸ Κύριε ἐλέησον ιβ' 'Ο δὲ 'Αρχιερεὺς ἐπισυνάπτει τὴν Εὐχὴν «Παναγία Τριάς . . . ὁ 'Ιερεὺς τὴν ἀπόλυσιν, καὶ ἄρχεται ἡ λειτουργία. Ο Διάκονος «Εὐλόγησον Δέσποτα» 'Ο 'Ιερεὺς «Εὐλογημένη ...», Ο



'Αρχιερεὺς ἀνελθὼν εἰς τὸν θρόνον, ἀναγινώσκει τὸν Προοιμιακόν. 'Ο Διάκονος, τὴν Μ. Συναπτὴν, καὶ ὁ 'Ιερεὺς τὴν ἐκφώνησιν Εἶτα τὰ «Πρὸς Κύριον..» ὑπὸ τοῦ 'Αναγνώστου. Μετὰ ταῦτα ἄρχονται οἱ χοροὶ ψάλλειν τὸν 'Εσπερινὸν. Εἰς τὸ «καί νῦν» τοῦ Δοξαστικοῦ, ἐξέρχονται οἱ 'Ιερεῖς μετὰ τῶν Διακόνων, καὶ ψάλλουσιν ἐν χορῷ τὸ «Φῶς 'Ιλαρόν». Εἰς τὸ «Πατέρα Υἱόν» ὁ 'Αρχιερεὺς κατέρχεται τοῦ θρόνου μετὰ Δικηροτρικήρων, προπορευόμενος τῶν 'Ιερέων, εἰσέρχεται εἰς τὸ 'Ιερόν Μετὰ τὸ τέλος, ὁ Διάκονος ἐκφωνεῖ «'Εσπέρας» ὁ 'Αναγνώστης Προκείμενον ἦχος» κ. τ. λ. καὶ ἀναγινώσκει τὴν Προφητείαν. 'Ο 'Αρχιερεὺς μεταξὺ τούτου, λαβὼν παρὰ τοῦ Διακόνου λαμπάδα καί θυμιατὸν, ἵσταται πρὸ τῆς ὡραίας Πύλης. καὶ ὅταν ὁ 'Αναγώστης ἐκφώνηση «Κέλευσον» ὁ 'Αρχιερεὺς ἐκφωνεῖ «***Σοφία, 'Ορθοί, Φῶς Χριστοῦ φαίνει πᾶσι».*** Μετὰ τὴν Προιμίαν, κρατῶν τὸ Θυμιατόν, ἱστάμενος ἐνώπιον τῆς ἁγίας Τραπέζης, ἄρχεται ψάλλειν τὸ «***Κατευθυντήτω»*** περικυκλῶν καὶ θυμιῶν τὴν ἁγίαν Τράπεζαν, τῶν χορῶν ψαλλόντων ἔξωθεν τὸ «Κατευθύνθητω» τετράκις· τὸ τελευταῖον δέ, ψάλλει αὖθις ὁ 'Αρχιερεύς, καὶ ἐν τῷ τέλει πρὸ τῆς ὡραίας Πύλης. θυμιᾷ τὸν λαόν. Εἶτα ἀναγινώσκεται ὁ 'Απόστολος, τὸ Εὐαγγέλιον ἀπ' ἄμβωνος. Μετὰ τὴν Συναπτήν κ.τ.λ. ψάλλεται τό «Νῦν αἱ δυνάμεις» 'Ο 'Αρχιερεὺς ἐλθὼν παρὰ τὴν ἁγίαν Πρόθεσιν δίδωσι τὸ 'Ιερεῖ τά Ἅγια διά τοῦ, «Δι' εὐχῶν», ὁ δὲ Διάκονος, θυμιῶν μετὰ λαμπάδος τὰ Ἅγια. πρὸ τοῦ 'Ιερέως, ἐξέρχονται ἐν σιωπῇ. Εἰσερχομένων δὲ εἰς τὸ 'Ιερόν, ὁ 'Αρχιερεὺς λαμβάνει τὰ Ἅγια, καὶ τίθησιν ἐπὶ τῆς ἁγίας Τραπέζης. ***Σημειωτέων δὲ ὅτι ἅπασαι αἱ εὐχαί τῆς Θείας Λειτουργίας ἀναγινώσκονται ὑπὸ μόνου τοῦ 'Αρχιερέως, τοῦ 'Ιερέως ἀκροωμένου, ἐκτός τινων ἐκφωνήσεων.*** Μετὰ τὸ «Πάτερ ἡμῶν» κ.τ.λ. ὁ Διάκονος τὸ, «Πρόσχωμεν» ὁ 'Αρχιερεὺς Τὰ Προηγιασμένα Ἅγια τοῖς 'Αγίοις». Κοινωνικόν· «Εἰς μνημόσυνον». Μετὰ τοῦτο, ὁ Διάκονος. Μετὰ «φόβου Θεοῦ» ὁ 'Αρχιερεὺς «Σῶσον ὁ Θεὸς τὸν λαόν σου»· εὐλογῶν. Οἱ δὲ χοροὶ ψάλλουσι τό, Εὐλογήσω τὸν Κύριον». 'Ο 'Αρχιερεύς, «Εὐλογητὸς ὁ Θεὸς ἡμῶν» μυστικῶς. 'Ο 'Ιερεὺς ἐκφώνως «Πάντοτε νῦν καὶ ἀεί...» ὁ Διάκονος. 'Ορθοί. μεταλαβόντες». 'Ο 'Ιερεὺς τήν ὀπισθάμβωνον· οἱ χοροί· «Εἴη τὸ ὄνομα Κυρίου». 'Ο 'Αναγνώστης τοὺς ψαλμούς .«Εὐλογήσω», καὶ τό, «'Υψώσω σε» Μετὰ ταῦτα ὁ 'Αρχιερεὺς τὴν ἀπόλυσιν, καί, τῶν χορῶν ψαλλόντων, «Τὸν «Δεσπότην καὶ 'Αρχιερέα εὐλογεῖ τὸν λαόν. 'Ο 'Ιερεὺς τό, «Δι' εὐχῶν....«

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ